ταῦτα καὶ κατηγορῶν τοῦ γάμου θαυμάζειν ἡμᾶς ἀναγκάζεις καὶ ποιεῖς εὐεργετημάτων κατάλογον τὰ τοῦ γάμου κατηγορήματα.

'Ναί', φησίν· 'ἀλλὰ ὁ γάμος ἐπίπονον.'

53 Καὶ τί πόνον ἐπίσταται λύειν ἢ γάμος; ὁπόσα πονεῖ, δι' ὑμεναίων ἀνήρηται καὶ ῥαστώνη παντάπασιν εἰς ὁμιλίαν γυναικὶ συνελθεῖν· ἡλίκον εἰς εὐνὴν ἀνὴρ γυναικὶ συνιών; μεθ' ὅσης δὲ ῥαστώνης ἐλπίζεται παῖς καὶ προσδοκώμενος φαίνεται καὶ πατέρα φανεὶς προσερεῖ καὶ πρὸς μελέτην ἔρχεται τέχνης, καὶ πατρὶ συνεργῶν καὶ παρὰ τὰς ἐκκλησίας δημηγορῶν καὶ πατέρα γηροτροφῶν καὶ ὅλως ἅπαν ὅ τι δέοι γινόμενος; οὐκ ἔστι λόγῳ διεξελθεῖν, ἃ φέρειν οἶδεν ὁ γάμος. Μέγα ὁ γάμος, καὶ παράγων θεοὺς καὶ παρέχων θνητοῖς θεοὺς εἶναι δοκεῖν, οἷς μένειν σοφίζεται· καὶ παιδεύει μὲν τοὺς χρωμένους τὰ δίκαια, πρὸς δὲ τὸ σῶφρον παροξύνει σκοπεῖν καὶ φιλοτιμεῖται τὰς ἡδονάς, ὅσαι μὴ φανεῖσαι κακίζονται. διὸ τὸν γάμον περὶ πλείστου ἐν πᾶσι ποιητέον καθέστηκεν.

## XIV. <ΠΕΡΙ ΕΙΣΦΟΡΑΣ ΤΟΥ ΝΟΜΟΥ.>

Καὶ τὴν εἰσφορὰν τοῦ νόμου τινὲς εἶναι δεδώκασι γύμνασμα. ἔστι μὲν γὰρ σχεδὸν ὅλη ὑπόθεσις, οὐ μὴν

---

m. 1 ex αι⌉ς **Vc** πρὸς ταῦτα **VcBa**, v. l. **Pc** (v. l. **Pa**: γρ τὸ πρὸς ταῦτα καὶ κατηγορούντων γάμου), (πρὸς om.) **Ac** om. **P**

**5** ὡς pro ἢ Walz ex Vindob. **6. 7** ὁμ⌊ιλί m. po.⌉αν **Pa** **7** γρ' ἡλίκον ἂν εἶεν, εἰς εὐνὴν κτλ. **Pc** γρ ἡλίκον ἂν ἐ⌊ις⌉ εὐνὴν εἶεν, ἀνὴρ γυναικὶ συνιών **Pa** **8** συνών **Vc** **12** εἴ pro ὅ **Vδ** γενόμενος **Ac** γινόμενον **VcBa** **12. 13** διεξελθεῖν λόγω **Ac** **13** μέγας **Pc**, schol. **P** II 668, 17 W. **14** θεοῖς **Vc** **16** σωφρονεῖν m. po. ex σῶφρον **Vc** **17** φαν⌊εῖσ, m. 1?⌉αι **Vc** **18** πλείστων **LdWc** Finckh delet ἐν (quod apud Dox. 552, 9 W. per errorem interciderit: est in **VδWc**) **19** περὶ νόμου εἰσφορᾶς **BaAc** ὅρος νόμου εἰσφορᾶς **PVc**; cf. Praef. VIII **20** Herm. 26, 11: καὶ τὴν τοῦ νόμου εἰσφορὰν (**Pζ**: εἰσφορὰν τοῦ νόμου) τάττουσι τινὲς (Theo 128, 26 Sp.) ἐν γυμνάσμασιν (**LbPh**: γυμνάσματι); cf. Π. εὑρ. 113, 11. 114, 1 **21** γύμνασμα om. m. 1 **VcBa**